# Παράκλησις ΕΓΓΑΜΩΝ ΑΓΙΩΝ

**Ποίημα Γεωργίου Ἀποστολάκη, τοῦ ἀπό Δικαστῶν (1996)**

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ ρνβ’ (142) Ψαλμός καί τό Θεός Κύριος μετά τῶν στίχων αὐτοῦ· εἶτα τά Τροπάρια. Ἦχος δ’. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.

Χαροποιόν ἡμῖν παρέχετε ἄγγελμα, οἱ ἐξ ἐγγάμων Παραδείσου δημόται, ἁγιασμοῦ τυχόντες ἐν ὁσίῳ ζυγῷ· γάμος οὐκ εκώλυσεν τήν ἡμῶν σωτηρίαν, ὅτι ἐξηλλάξατε τῆς σαρκός τάς κινήσεις, κατατρωθέντες ἔρωτι Χριστοῦ, ἡμῖν ἀφέντες, ὑπόδειγμα τέλειον.

Δόξα. Τό αὐτό.

Καί νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομέν ποτε Θεοτόκε,…

**Ὁ Ν’ Ψαλμός.**

**Εἶτα ὁ Κανών.**

Ὠδή α’. Ἦχος πλ. δ’. Ὑγράν διοδεύσας.

Ἐγγάμων Ἁγίων θεία πληθύς, παράκλησιν ταύτην, τῶν ἐν γάμῳ Χριστιανῶν, προσδέξασθε πάντες καί ταχέως, ὑπέρ ἡμῶν τῷ Κυρίῳ δεήθητε.

Ἀπόστολε Πέτρε ἡ κορυφή, ἐγγάμων Ἁγίων, σύν Φιλίππῳ1 καί ’Ιωσήφ, ἒτι Συμεών τῷ Θεοδόχῳ, τάς συζυγίας ἡμῶν συντηρήσατε.

Μυστήριον γάμου μέγα ἐστί, Ἀπόστολοςκράζει, εἰς τελείωσιν δέ σκοπεῖ, καί ἁγιασμόν τῶν ὁμοζύγων, τοῖς ἀδυνάμοις παρέχον ασφάλειαν.

Φωτίσατε πάντας είς τό νοεῖν, τό τέλος τοῦ γάμου, ὡς συνένωσιν ἐν Χριστῷ, ὦ δῆμε Ἁγίων ἐξ ἐγγάμων, ἡμῖν παρέχοντες πρότυπα ἄριστα.

Θεοτοκίον.
Εὐλόγησον Μῆτερ ἐξ οὐρανοῦ, τούς γάμους Σῶν τέκνων, καί ἐμφύτευσον ἐν ἡμῖν, εὐχήν τοῦ ἑνός ὑπέρ τοῦ ἄλλου, ἵνα ἐλέους ἀμφότεροι τύχωμεν.

Ὠδή γ΄. Οὐρανίας ἁψῖδος.
Παναγία χορεία, καί γεραρέ ὅμιλε, πάντων τῶν ἐγγάμων Ἁγίων, πᾶσι κηρύξατε, ὅτι ὁ γάμος ἐστίν, ἀγαπωμένων προσώπων, ἐν Χριστῷ συμμέθεξις, καί περιχώρησις.

Θωμαΐς ἡ ἐκ Λέσβου καί σύ σεπτή Μόνικα, δείξατε ἡμῖν ὑπομένειν, ὡς ἐποιήσατε, ἐκ τῶν συζύγων ἡμῶν, τούς πειρασμούς καί τάς θλίψεις, τῷ Χριστῷ δέ εὔχεσθαι, δοῦναι μετάνοιαν.

Ξενοφῶν καί Μαρία, σύν τῇ Ζωῇ Ἕσπερε, ὦ Μαρκιανέ Πουλχερία, Μαύρα Τιμόθεε, θεῖε ᾿Ανδρόνικε, σύν σεβαστῇ Ἰουνίᾳ, τοῖς ἐν γάμῳ δείκνυτε, βίον σωτήριον.

Θεραπεύειν τά πάθη, τῇ προσευχῇ μάθωμεν, τοῦ ἀσθενεστέρου συζύγου, ὁ ἀρτιώτερος· ἁγιασμόν δέ κοινόν, ἐπιζητεῖν μετά πόθου, οἴκοι ἐνασκούμενοι, πᾶσι γυμνάσμασιν.

Θεοτοκίον.
Φωτισμόν δός Κυρία, μετά χαρᾶς πάντοτε, ὥστε τοῦ δυστρόπου συζύγου, λόγους ἀνέχεσθαι, ἐν ταπεινώσει πολλῇ, ἥτις πραΰνει καρδίας, ἐκζητοῦντες ἔλεος, τῇ μεσιτείᾳ Σου.

Πρεσβεύσατε, ἡ ἐξ ἐγγάμων Ἁγίων σεπτή χορεία, τῷ Κυρίῳ ὑπομονήν στερράν ὅπως ἔχωμεν, ἀλλήλων κρατοῦντες ἀεί τά βάρη.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπί τήν ἐμήν χαλεπήν τοῦ σώματος κάκωσιν, καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

Ιερέυς Αίτησης

Κάθισμα. Ἦχος β'. Τά ἄνω ζητῶν.

Σεπτέ Βασιλεῦ καί Μέγα Θεοδόσιε, Ἑλένη λαμπρά καί θεῖον ἀγαλλίαμα, Κωνσταντῖνε πάνσοφε, Θεοδώρα Ἄνασσα ἃγια, ἐκ τῶν ἐγγάμων δείγματα ἡμῶν, ἐνθέους τούς γάμους συντηρήσατε.

Ὠδή δ'. Εἰσακήκοα Κύριε.

Παραινέσατε Ἅγιοι, ὡς τήν Ἐκκλησίαν Χριστός ἠγάπησεν, τάς γυναῖκας ὃπως ἅπαντες, πανοσίως οὕτω ἀγαπήσωμεν.

Ἐπιστήμη ᾿Εμμέλια, ᾿Ελισσάβετ, ῎Αννα καί σύ Περπέτουα, τάς γυναῖκας νουθετήσατε, ἳνα πᾶσαι ὦσι ἀεί φίλανδροι.

Τῶν Μαρτύρων οἱ ἔγγαμοι, ᾿Ιουλίττα, Φωτεινή καί ᾿Ιάκωβε, νικηφόρως τό ἀγώνισμα, ἐκτελεῖν τοῦ γάμου βοηθήσατε.

Θεοτοκίον.

Ἰησοῦν Ὅς ηὐλόγησεν, ἐν Κανᾷ τόν γάμον Κόρη Μητρόθεε, ὡς Υἱόν Σου καθικέτευε, τοῖς ἐν γάμῳ εἶναι ἐλεήμονα.

Ὠδή ε'. Φώτισον ἡμᾶς.

Ὤφθης Θωμαΐς, τῆς σεμνότητος ὑπόδειγμα, ὅθεν φύλαξον ἀτρώτους πειρασμῶν, τοῦ σαρκίου τούς ἐγγάμους χάριν ἔχουσα.

Μέθης προσβολήν, ἀφ' ἡμῶν μακράν ἐκδίωξον, καί θεράπευσον τήν ὃξιν τήν κακήν, θεία Ξένη, τῆς σαλότητος ἀπάγαυσμα.

Ζήλου φθονεροῦ, καθαρεύειν βοηθήσατε, τάς ψυχάς τῶν ζηλοτύπων ἐξ ἡμῶν, τῶν Ἁγίων ἐξ ἐγγάμων θεία Σύναξις.

Θεοτοκίον.

Δέσποινα Ἁγνή, τόν Ὑπέρθεον γεννήσασα, διαφύλαξον τούς οἴκους τῶν πιστῶν, καί ὁμόνοιαν συζύγοις πᾶσι δώρησαι.

Ὠδή στ'. Τήν δέησιν.

Κηρύξατε, τοῖς ἐγγάμοις Ἅγιοι, ὃτι μεῖζονπαρθενίας τυγχάνει, ἐλεημόνων τό ἔργον τό θεῖον, ὃπερ ὑμεῖς ἰσοβίως ἠσκήσατε, Φιλάρετε[2] φίλε πτωχῶν, καί σεπτέ Ἰωάννη[3] φιλάνθρωπε.

Ποιήσωμεν, τήν οἰκίαν ἔγγαμοι, γυμναστήριον ψυχῶν τῇ ἀσκήσει, ὃτι ὁ τρόπος φησίν οὐχ ὁ τόπος, τήν σωτηρίαν παρέχει ἑκάστοτε, Θεοῦ ἐλέει τοῖς πιστοῖς, τοῖς τηροῦσι τά θεῖα ἐντάλματα.

Γενέσθω, προσευχῆς καθίδρυμα, καί παλαίστρα ἀρετῆς ἡ οἰκία, ἳνα ἐκεῖ γυμνασάμενοι ζήλῳ, μετά πολλῆς ἐπιστήμης προσβάλλωμεν,[4] καλῶς τοῖς ἐν τῇ ἀγορᾷ, τάς μερίμνας μηδόλως φοβούμενοι.

Θεοτοκίον.

Πανάχραντε, Θεοτόκε Δέσποινα, Ἱεράρχαι τε ἐγγάμων Ἁγίων, Σπυρίδων[5] Μύρων[6] Γρηγόριοι[7]

θεῖοι, καί Ἱερεῦ Ἰωάννη8 Κροστάνδιε, πρεσβεύσατε τῷ Βασιλεῖ, καταπέμψαι ἡμῖν θείαν δύναμιν.

Πρεσβεύσατε, ἡ ἐξ ἐγγάμων Ἁγίων σεπτή χορεία, τῷ Κυρίῳ ὑπομονήν στερράν ὅπως ἔχωμεν, ἀλλήλων κρατοῦντες ἀεί τά βάρη.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπί τήν ἐμήν χαλεπήν τοῦ σώματος κάκωσιν, καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

## Ιερέυς Αίτησης

Κάθισμα. Ἦχος β΄. Νικηφόρε, τῶν Αὐτοκρατόρων ἀγλάϊσμα, Φιλοθέη ἡ τῶν Ἀθηναίων προπύργιον, καί Παφνούτιε τῆς Αἰγύπτου καύχημα λαμπρόν, ὁμοῦ σπεύσατε τῷ Βασιλεῖ , καί ἐξ ἐγγάμων οἱ λοιποί, τοῦ ἁγίου συστήματος, κράζοντες ἱκεσίας, τοῖς οἴκοις τῶν ὁμοζύγων, ἵνα ὑπάρχῃ ἐσαεί, σωφροσύνη καί ὁμόνοια.

Προκείμενον. *Ὑπομένων ὑπέμεινα τόν Κύριον καί προσέσχε μοι.*
Στ. *Καί ἓστησεν ἐπί πέτραν τούς πόδας μου καί κατεύθυνεν τά διαβήματά μου.*

**Εὐαγγέλιον ἐκ τοῦ κατά Ἰωάννην (κεφ. Β, στ. 1-11). Καί τῇ ἡμέρᾳ τῇ τρίτῃ γάμος ἐγένετο ἐν Κανᾷ ....**

Δόξα. Ἐγγάμων Σου Ἁγίων πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καί νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι. Στ.

*Ἐλέησόν με ὁ Θεός…*
Πᾶσιν εἰσηγήθητε, τοῖς ἐγγάμοις ἐν τῷ βίῳ, ἐξ ἐγγάμων ἅγιοι, ὁμοιοπαθήσαντες, ὃτι δύστροπος, σύζυγος δέδοται, ὣσπερ μαρτύριον. Ἄν ἐνέγκῃς τά πειράγματα, λήψῃ τόν στέφανον. Ἄν δέ ἔχῃς πρᾶον καί ἣμερον, τίνος ἓνεκεν μίσθωμα, δώσει σοι ἀξίως ὁ Κύριος; Ὅθεν πάντες ὦμεν, ἀλλήλοις εὐδιάλλακτοι ταχύ, ἳνα συγχώρησιν λάβωμεν, τῶν πταισμάτων ἂνωθεν.

Ὠδή ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.
Δόξης θείας τυχόντες, πολυάριθμον δῆμον συνεκροτήσατε, ἐγγάμων οἱ σωθέντες, τόν βίον διαβάντες, δι' ὁδοῦ ταπεινώσεως, ἣν καταλλήλως ἡμῖν, διδάξατε βιῶσαι.

Γοργονία Σοφία, Ἀγγελῆ Νεομάρτυς ἄναξ Βλαδίμηρε, Ἰγνάτιε Μηθύμνης, καλλίκαρποι Ἁγίων, ἀνεδείχθητε ἃπαντες· διό ἀνάψατε ἡμῖν, φλόγα φιλοτεκνίας.

Τοῦ κηρύγματος ζῆλον, ἐμφυτεύσατε πᾶσι ἐγγάμοις Ἅγιοι, διδάσκειν διά λόγων, ἐν πράξεσι καί ἒργοις, Ὀρθοδόξων τά δόγματα, ἳνα μισθόν ἐπαρκῆ, ἐκδέξωνται ἐν κρίσει.

Θεοτοκίον.

Ἀπό πάσης κακίας, δυσκολίας και φόβου Παρθένε λύτρωσον, τούς οἶκους τῶν ἐν γάμῳ, καί ἒμπλησον σοφίας, καρτερίας συνέσεως, καί εὐφροσύνης ἡμᾶς, τούς κράζοντάς Σοι, χαῖρε.

Ὠδή η΄. Τόν Βασιλέα τῶν οὐρανῶν.

Προσευχηθῶμεν, ὑπέρ ἀπίστων συζύγων, ἐξαιτοῦντες τυχεῖν μετανοίας, καί τῆς σωτηρίας, εὑρεῖν εὐθείας τρίβους.

Ὡς παρρησίαν, πρός τόν Χριστόν κεκτημένοι, στρατιά τῶν ἐγγάμων Ἁγίων, εἴπατε Κυρίῳ, οἰκτείρειν τούς ἐν γάμῳ.

Τοῖς βασιλεῦσι, ἐκ τῶν ἐγγάμων Ἁγίων, ὁμοιάσωμεν πάντες τά ἤθη, τῇ φιλοθεΐᾳ, καί τῇ φιλοπτωχίᾳ.

Θεοτοκίον.

Τῆς μετανοίας, τῆς θεοδότου τάς πύλας, ἐζευγμένοις Παρθένε ἀνοίγεις, ὅταν ἐκζητῶσι, ἁγίας Σου πρεσβείας.

Ὠδή θ΄. Κυρίως Θεοτόκον.

Χαρίσατε ὑγείαν, τέκνοις τήν κατ’ ἄμφω, Χριστιανῶν τῶν τιμώντων τήν Σύναξιν, τήν τῶν ἐγγάμων Ἁγίων, τήν πολυάριθμον.

Φυλάξατε τούς νέους, ἐκ τῆς συνηθείας, ναρκωτικῶν οὐσιῶν καί ἰάσατε, τούς κεκτημένους τήν ἕξιν, ἔγγαμοι Ἅγιοι.

Δεσμούς τῆς ἀτεκνίας, χάρισμα κατέχεις,

Θεοπρομῆτορ τοῦ λύειν ταχύτατα· διό ἁπάσας ἀτέκνοις, Ἄννα βοήθησον.

Ὑμέτερα τεκνία, σκέπασον Παρθένε, ὡς μητρικήν παρρησίαν κατέχουσα, καί πρός Υἱοῦ Σου τήν Μάνδραν, καλῶς ὁδήγησον.

Μεγαλυνάρια.

Ἄξιον ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τήν Θεοτόκον, τήν ἀειμακάριστον καί παναμώμητον καί μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν τιμιωτέραν τῶν Χερουβείμ καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τήν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Δεῦτε τῶν ἐγγάμων πολυπληθής, καί σεπτή χορεία, Ἀποστόλων Ἱεραρχῶν, Ἀσκητῶν, Ὁσίων, Μαρτύρων, Βασιλέων, πρωτεύοντος τοῦ Πέτρου, ἡμᾶς φρουρήσατε.

Ἔγγαμοι Μαρτύρων δότε ἡμῖν, τῷ Κυρίῳ πίστιν, στερεάν τε καί καθαράν, ἣν ἐν μαρτυρίῳ, ἐδείξατε γενναῖοι, στεφάνῳ δοξασθέντες, παρά του Κτίσαντος.

Ὤφθητε τῷ κόσμῳ ζεύγη σεπτά, Ἐλισσάβετ Ἄννα, Ζαχαρία Ἰωακείμ, πρότυπα ἀγάπης, καί ἀρετῆς ἐν γάμῳ, θεοσεβείας ἅμα, δείγματα τέλεια.

Κλῆσιν εἰσακούσαντες μυστικήν, εἰς ἐρήμους τόπους, ἡγιάσατε Ἀσκηταί, ἐξ ἐγγάμων ὂντες, πλήν ἒρωτι τρωθέντες, τοῦ Θείου και ἀφέντες, πάντα τά μάταια.

Ἐξ ἐγγάμων ἃγιοι Βασιλεῖς, Κωνσταντῖνε Μέγα, καί Ἑλένη σύν τοῖς λοιποῖς, τήν φιλοθεΐαν, καί τήν φιλοπτωχίαν, κηρύξατε εἰς πάντας, Ἄρχοντας σήμερον.

Ἄγγελμα παρήγορον ἀδελφοί, ὁ χορός κομίζει, ἐπακούσωμεν ἐν σπουδῄ, ὂτι καί ἐν γάμῳ, σωθήσονται βεβαίως, Χριστῷ ἀκολουθοῦντες, ὣσπερ εἰς ἒρημον.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τό σωθῆναι ἡμᾶς.

**Εἶτα τό Τρισάγιον καί τό Ἀπολυτίκιον.**
Ἦχος α’. Τῆς ἐρήμου πολίτης.

Τούς ἐγγάμους Ἁγίους ἐν συνάξει τιμήσωμεν, ὡς περικαλεῖς συνδημότας Οορανίου συντάγματος· πρεσβεύουσι ἀπαύστως γάρ Θεῷ, ὑπέρ τῶν ἐζευγμένων ἐκ βροτῶν, εὐλογοῦσι τάς οἰκίας, καί ἀρωγοί ταχύτατοι παρίστανται. Δόξα τῷ

ἁγιάσαντι αὐτούς· Δδξα τῷ στεφανώσαντι· δόξα τῷ εὐλογήσαντι ἐν Κανᾶ̣ , Γάμου μυστήριον!

**Εἶτα ἐκτενής καί Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τό ἑξῆς·**

Δεῦτε, οἱ βιοῦντες ἐκ βροτῶν, ἐν τῇ τύρβῃ τούτου τοῦ κόσμου, ἀναφωνήσωμεν· δόξα σοι πανθαύμαστον, καί πολυποίκιλον, θεοσύλλεκτον σύνταγμα, ἐγγάμων Ἁγίων, Πέτρον τόν Ἀπόστολον, καί μαθητήν τοῦ Χριστοῦ, πρόεδρον περίδοξον ἒχον. Δόξα καί τῷ πάντων Δεσπότῃ, τῷ σωθῆναι πάντας ἐπιμένοντι.

Δέσποινα, πρόσδεξαι ...

Τήν πᾶσαν ἐλπίδα μου ...

Δίστιχον.
*Ἐγγάμων Ἁγίων δῆμε ἀνάδειξον,*
*ἐμοῦ Γεωργίου γάμον σωτήριον.*